11. *Αἰτιωμένων δέ τινων ὅτι τιμᾷ καὶ προάγεται πονηρὸν ἄνθρωπον καὶ δυσχεραινόμενον ὑπὸ τῶν πολιτῶν ‘ἀλλὰ καὶ βούλομαι’ εἶπεν ‘εἶναι τὸν ἐμοῦ μᾶλλον μισούμενον.’*

12. *Ἐπεὶ δὲ Κορινθίων πρέσβεις δῶρα διδόντος αὐτοῦ παρῃτοῦντο διὰ τὸν νόμον, ὃς οὐκ εἴα δῶρα λαμβάνειν παρὰ δυνάστου πρεσβεύοντας, δεινὸν ἔφη πρᾶγμα ποιεῖν αὐτούς, ὃ μόνον αἱ τυραννίδες ἔχουσιν ἀγαθὸν ἀναιροῦντας καὶ διδάσκοντας, ὅτι καὶ τὸ εὖ παθεῖν ὑπὸ τυράννου φοβερόν ἐστιν.*

13. *Ἀκούσας δέ τινα τῶν πολιτῶν χρυσίον ἔχειν οἴκοι*
C *κατορωρυγμένον ἐκέλευσεν ἀνενεγκεῖν πρὸς αὐτόν· ἐπεὶ δὲ παρακλέψας ὀλίγον ὁ ἄνθρωπος καὶ μεταστὰς εἰς ἑτέραν πόλιν ἐωνήσατο χωρίον, μεταπεμψάμενος αὐτὸν ἐκέλευσε πᾶν ἀπολαβεῖν, ἠργμένον χρῆσθαι τῷ πλούτῳ καὶ μηκέτι ποιοῦντα τὸ χρήσιμον ἄχρηστον.*

## *ΔΙΟΝΥΣΙΟΣ Ο ΝΕΩΤΕΡΟΣ*

1. *Ὁ δὲ νεώτερος Διονύσιος ἔλεγε πολλοὺς τρέφειν σοφιστάς, οὐ θαυμάζων ἐκείνους ἀλλὰ δι’ ἐκείνων θαυμάζεσθαι βουλόμενος.*

2. *Πολυξένου δὲ τοῦ διαλεκτικοῦ φήσαντος αὐτὸν ἐξελέγχειν ‘ἀμέλει τοῖς λόγοις’ εἶπεν ‘ἐγὼ δέ σε τοῖς*
D *ἔργοις ἐλέγχω· τὰ γὰρ σεαυτοῦ καταλιπὼν ἐμὲ καὶ τὰ ἐμὰ θεραπεύεις.’*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/21 UNIVERSITÄT LEIPZIG